Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: tva-ab

*Εὐσέβιος ὁ Καίσαρειας* · Eusebius of Caesarea

# Evangelical Demonstration Fragments of Book XV

*Ἐπίδειξις Εὐαγγελική, Ἀποσπάσματα Βιβλίου ΙΕ′*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ Χριστιανική* Christian Koine
**Domain:** *Θεολογία* Theology
**Format:** *Πραγματεία* Treatise
**Affiliation:** Christian

1 Ἡγοῦμαι ταῦτα μηδὲν διαφέρειν τῆς τοῦ προφήτου θεωρίας. ὡς γὰρ ὁ προφήτης «θάλασσαν» ἑώρα «μεγάλην», οὕτως ὁ βασιλεὺς «εἰκόνα πολλήν». καὶ πάλιν ὡς ὁ προφήτης ἑώρα «τέσσαρα θηρία», ἅπερ ἑρμηνεύων μετέβαλεν εἰς τέσσαρας βασιλείας, οὕτως ὁ βασιλεὺς [τὰς] διὰ τοῦ χρυσοῦ καὶ ἀργύρου καὶ χαλκοῦ καὶ σιδήρου τέσσαρας βασιλείας ᾐνίττετο. καὶ αὖθις ὡς ὁ προφήτης τῶν τοῦ ὑστάτου θηρίου κεράτων δέκα διαίρεσιν ἑώρα, καὶ τρία κέρατα ὑφ’ ἑνὸς συντριβόμενα, καὶ ὁ βασιλεὺς ὡσαύτως ἐπὶ τῶν τελευταίων τῆς εἰκόνος «μέρος τι σιδηροῦν καὶ μέρος ὀστράκινον» ἐθεώρει. καὶ ἐπὶ τούτοις ὡς ὁ προφήτης μετὰ τὴν τῶν τεσσάρων βασιλειῶν ὅρασιν ἑώρα υἱὸν ἀνθρώπου τὴν κατὰ πάντων «ἀρχὴν» καὶ «ἐξουσίαν» καὶ «βασιλείαν» παρειληφότα, οὕτως καὶ ὁ βασιλεὺς λίθον συντρίβοντα τὴν εἰκόνα πᾶσαν καὶ γινόμενον εἰς «ὄρος μέγα» καὶ πληροῦντα πᾶσαν τὴν γῆν. ἄμφω δὲ ταῦτα θεωροῦσι περὶ τῆς κατὰ τὸν ἀνθρώπινον βίον συστάσεως. τὸν μὲν σύμπαντα βίον αἰνιγματωδῶς ὁ μὲν βασιλεὺς οἷα εἰκόνα ὁ δὲ προφήτης οἷα θάλασσαν ἐδόκουν ὁρᾶν, καὶ εἰκότως· ἔπρεπε γὰρ τῷ μὲν ἠπατημένῳ περὶ τὴν τοῦ βίου φαντασίαν βασιλεῖ καὶ τὴν τῶν αἰσθητῶν οἷα χρωμάτων ὡραιότητα ἐπὶ γραφῆς ἀνακειμένην θαυμάζοντι εἰκόνι μεγάλῃ τῶν πάντων ἀνθρώπων ἀπεικάζειν τὸν βίον, τὸν δὲ προφήτην τὸν πολὺν καὶ μέγαν σάλον τοῦ βίου μεγάλῃ θαλάσσῃ παραβάλλειν, καὶ τῷ μὲν βασιλεῖ τὰς παρὰ ἀνθρώποις πολυτελεῖς νενομισμένας ὕλας χρυσοῦ καὶ ἀργύρου χαλκοῦ τε καὶ σιδήρου θαυμάζοντι τὰς κατὰ χρόνους ἐν τῷ βίῳ τῶν ἀνθρώπων ἐπικρατεῖς βασιλείας ταύταις ἀφομοιοῦν ταῖς ὕλαις, τῷ δὲ προφήτῃ ἐν μορφαῖς θηρίων τὰς αὐτὰς βασιλείας καταλλήλως τῷ τῆς ἀρχῆς τρόπῳ διαγράφεσθαι. καὶ πάλιν τῷ μὲν βασιλεῖ μέγα ὡς εἰκὸς ἐφ’ ἑαυτῷ φρονοῦντι καὶ ἀλαζονευομένῳ ἐπὶ τῇ τῶν προγόνων βασιλείᾳ ἡ τῶν πραγμάτων μεταβολὴ δείκνυται καὶ τῶν ἐπὶ γῆς βασιλειῶν τὸ τέλος, εἰς καθαίρεσιν τοῦ ἐν αὐτῷ τύφου καὶ εἰς τὸ μηδὲν ἡγεῖσθαι βέβαιον τῶν ἐν ἀνθρώποις ἢ μόνον τὸ ἐπὶ πάντων τέλος τῆς τοῦ θεοῦ βασιλείας· ἔσεσθαι γὰρ μετὰ τὴν πρώτην Ἀσσυρίων ἀρχήν, ἣν ὁ χρυσὸς ᾐνίξατο, δευτέραν τὴν τῶν Περσῶν τὴν διὰ τοῦ ἀργύρου δεδηλωμένην· ἔπειτα τρίτην τὴν Μακεδόνων ἣν ὁ χαλκὸς ἐσήμανε· μεθ’ ἣν τετάρτην διαδέξεσθαι τὴν Ῥωμαίων, κραταιοτέραν οὖσαν τῶν πρὸ αὐτῆς, δι’ ὃ καὶ σιδήρῳ παρεβάλλετο (εἴρητο γοῦν περὶ αὐτῆς· «καὶ βασιλεία τετάρτη ἔσται ἰσχυρὰ ὡς ὁ σίδηρος· ὃν τρόπον ὁ σίδηρος λεπτύνει καὶ δαμάζει πάντα, οὕτως πάντα λεπτυνεῖ καὶ δαμάσει»)· καὶ μετὰ τὰς εἰρημένας ἁπάσας τὴν τοῦ θεοῦ βασιλείαν διὰ τοῦ συντρίβοντος

τὴν πᾶσαν εἰκόνα λίθου παρισταμένην. καὶ ὁ προφήτης δὲ τούτοις ἀκολούθως τὴν ἐπὶ τέλει τοῦ τῶν ὅλων θεοῦ βασιλείαν οὐ πρότερον θεωρεῖ, ἢ τὰς εἰρημένας τέσσαρας δυναστείας διαγράψαι τῷ λόγῳ διὰ τῶν τεσσάρων θηρίων. τούτων δὲ τῶν τεσσάρων βασιλειῶν μόνων καὶ οὐδὲ ἑτέρων ἡγοῦμαι τὰς ὁράσεις καὶ τῷ βασιλεῖ καὶ τῷ προφήτῃ δεδεῖχθαι διὰ τὸ ταύταις καταδουλωθῆναι τὸ τῶν Ἰουδαίων ἔθνος ἀπὸ τῶν τοῦ προφήτου χρόνων. Διεκόπη μὲν ἐν τῇ Βαβυλῶνι ἡ φλὸξ τοῦ πυρὸς ** διακοπεῖσα τῷ προστάγματι τοῦ θεοῦ· ἐδέξατο .

2 .. ἐν αὐτῇ, ἡδίστην ἀναπνοὴν καὶ ἀναψυχήν, ὥσπερ ἐν σκιᾷ τινι φυτῶν, ἐν εἰρηνικῇ καταστάσει παρεχομένη τοῖς παισίν· ἐγένετο γάρ, φησί, «ὡσεὶ πνεῦμα δρόσου διασυρίζον». Σαφῶς ἡγοῦμαι δηλοῦσθαι τὴν καθόλου κρίσιν, ὅτε πάντες οἱ ἐξ αἰῶνος ἄνθρωποι παραστήσονται «τῷ βήματι τοῦ Χριστοῦ».

3 μετὰ δὲ τὴν τῶν τετελευτηκότων ἀναβίωσιν καὶ μετὰ τὴν κατὰ πάντων κρίσιν ὁ ἑωραμένος τῷ Δανιὴλ «υἱὸς ἀνθρώπου» ἐπιστήσεται ἐπὶ «νεφελῶν», τὴν κατὰ πάντων τῶν λαῶν καὶ φυλῶν ὑπὸ τοῦ πατρὸς ἐξουσίαν τε καὶ βασιλείαν ἀγήρω καὶ ἀτελεύτητον παραληψόμενος, ὡς καὶ αὐτὸς ὁ σωτὴρ ἡμῶν περὶ ἑαυτοῦ διδάσκει λέγων· «ὅταν δὲ ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ καὶ πάντες οἱ ἄγγελοι μετ' αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ καὶ συναχθήσεται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη», καὶ τὰ ἑξῆς. συνᾴδει γοῦν ταῦτα ταῖς ἐν χερσὶν μαρτυρίαις τῆς τοῦ Δανιὴλ προφητείας, καθ' ἣν λέλεκται· «καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος ἦν, καὶ ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν ἔφθασεν. καὶ προσηνέχθη αὐτῷ καὶ ἐδόθη αὐτῷ καὶ ἡ ἀρχὴ καὶ ἡ τιμὴ καὶ ἡ βασιλεία», καὶ τὰ ἑξῆς. Οὐ μόνον δὲ τοῦ υἱοῦ τοῦ ἀνθρώπου τὴν βασιλείαν ὁ προφήτης θεσπίζει ἀλλὰ καὶ πλείονα περὶ ὧν φησί.

5 Συμβασιλεύοντες δηλαδὴ καὶ αὐτοὶ τῷ θεῷ. τίνες δ' ἂν εἶεν οὗτοι ἢ οἱ «κληρονόμοι τοῦ θεοῦ συγκληρονόμοι δὲ Χριστοῦ», οἷς καὶ ἐπήγγελται τὴν βασιλείαν τῶν οὐρανῶν βασιλείαν ἐπιστησομένην μετὰ τέσσαρας βασιλείας τὰς τῷ προφήτῃ ἑωραμένας, περὶ ὧν ὡς ἐν βραχέσιν ἀρτίως διειλήφαμεν. ἐντεῦθεν οἶμαι τὸν ἱερὸν ἀπόστολον Παῦλον ὁρμᾶσθαι, περὶ τῆς δευτέρας ἀφίξεως τοῦ Χριστοῦ γράφων τὰ τοιάδε· «ὅτι αὐτὸς ὁ κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου καὶ ἐν σάλπιγγι θεοῦ καταβήσεται ἀπ' οὐρανοῦ», καὶ τὰ ἑξῆς. ὁ δ' αὐτὸς ἀπόστολος καὶ τὴν ὑστάτην τοῦ ἀντιχρίστου ἄφιξίν τε καὶ ἀπώλειαν καὶ ἐπὶ ταύτῃ τὴν τοῦ σωτῆρος ἡμῶν ἔνδοξον παρουσίαν ἀκολούθως τῇ προφητείᾳ παρίστησι λέγων· «μήτις ὑμᾶς ἐξαπατήσει κατὰ μηδένα τρόπον, ὅτι ἐὰν μὴ ἔλθῃ ἡ ἀποστασία πρῶτον καὶ ἀποκαλυφθῇ ὁ ἄνθρωπος τῆς ἁμαρτίας, ὁ υἱὸς τῆς ἀπωλείας, ὁ ἀντικείμενος καὶ ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμενα θεὸν ἢ σέβασμα ὥστε αὐτὸν εἰς τὸν ναὸν τοῦ θεοῦ καθίσαι, ἀποδεικνύντα ἑαυτὸν ὅτι ἐστὶ θεός. οὐ μνημονεύετε, ὅτι ἔτι ὢν πρὸς ὑμᾶς ταῦτα ἔλεγον ὑμῖν», καὶ τὰ ἑξῆς τοσαῦτα καὶ ὁ θαυμάσιος ἀπόστολος ἐν τοῖς περὶ συντελείας τοῦ βίου διεξῆλθε λόγοις, τὰ διὰ τοῦ προφήτου Δανιὴλ περὶ τοῦ ἀντιχρίστου καὶ τῆς τοῦ σωτῆρος ἡμῶν ἐνδόξου βασιλείας τεθεσπισμένα πιστούμενος. Παραγινομένου λοιπὸν ἀπ' οὐρανοῦ κριτοῦ τῶν κριτῶν καὶ «τοῦ βασιλέως τῶν βασιλέων», ὃς μεταστήσει πᾶσαν τὴν τοῦ ἀντικειμένου ἀρχὴν καὶ δύναμιν καὶ καταφλέξει πάντας, αἰωνίῳ πυρὶ κολάζων, τοῖς δὲ δούλοις αὐτοῦ καὶ τοῖς προφήταις καὶ μάρτυσι καὶ πᾶσι τοῖς φοβουμένοις αὐτὸν δώσει τὸ αἰώνιον βασίλειον, τοῦτ' ἔστιν, ἀτελεύτητον ἕξουσι τῶν ἀγαθῶν ἀπόλαυσιν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org